# ΚΥΡΙΑΚΗ ϛ΄ ἀπὸ τοῦ ΠΑΣΧΑ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις

**Ἀπολυτίκιον Ἀναστάσιμον.** Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί, καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει Αὐτοῦ.



*Ι. Εἰκὼν ρωσικῆς τέχνης (ΙΔ΄ αἰ.).*

* * *

## Μνεία του θαύματος εἰς τὸν ἐκ γενετῆς Τυφλὸν

**Κοντάκιον.** Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα, πεπηρωμένος, Σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ, κραυγάζων Σοι· Σὺ τῶν ἐν σκότει, τὸ φῶς τὸ ὑπέρλαμπρον.

**Στίχοι.**

Φωτὸς χορηγός, ἐκ φάους πέλον φάος,
Τὸν ἐκ γενετῆς ὀμματοῖς Τυφλόν, Λόγε.

## Τῇ Κυριακῇ τοῦ Τυφλοῦ

*(Πράξ. ιϛ΄ 16-34· Ἰωάν. θ΄ 1-38)*

Ἐκ τοῦ Ἱεροῦ ἐξήρχετο ὁ Ἰησοῦς ἐν ἡμέρᾳ Σαββάτου, ὅτε, διαβαίνων διὰ τῆς ὁδοῦ, εἶδε τὸν τυφλὸν τοῦ σημερινοῦ Εὐαγγελίου νέον, οὕτω γεννηθέντα ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ ἡλικίαν ἱκανὴν ἤδη ἔχοντα, καὶ ἑπομένως ἀνεπίδεκτον θεραπείας τινὸς ἐξ ἀνθρωπίνης τέχνης. Τοῦτον ἰδὼν ὁ Θεάνθρωπος, ἔπτυσε χαμαὶ καὶ ἐκ τοῦ πτύσματος ἐποίησε πηλόν, καὶ χρίσας αὐτὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, εἶπε πρὸς αὐτόν· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ.

Ἦν δὲ ἡ Σιλωὰμ (ὃ ἑρμηνεύεται ἀπεσταλμένος) πηγὴ ἐν Ἱερουσαλὴμ περίφημος διὰ τὴν παρὰ τοῖς κατοίκοις μεγάλην χρῆσιν τῶν ὑδάτων αὐτῆς, ἅπερ, περιερχόμενα εἰς τὰ πρὸς ἀνατολὰς τείχη τῆς πόλεως, ὑπεδέχετο εὐρυχωροτάτη κολυμβήθρα, ὀνομαζομένη Κολυμβήθρα τοῦ Σιλωάμ.




*Τοιχογραφία (1527), διὰ χειρὸς Θεοφάνους τοῦ Κρητός, Ἱ. Μ. Ἁγίου Νικολάου Ἀναπαυσᾶ, Μετέωρα.*

Εἰς ταύτην οὖν ἀπέστειλεν ὁ Ἰησοῦς τὸν τυφλόν, ἵνα νίψῃ τοὺς ὀφθαλμοὺς αὐτοῦ, τοὺς ἐκ τοῦ πηλοῦ κεχρισμένους, οὐχ ὅτι τὸ ὕδωρ αὐτῆς εἶχε τοιαύτην δύναμιν, ὥστε ἀνοίγειν τυφλῶν ὀφθαλμούς, ἀλλ᾽ ἵνα καὶ τοῦ ἀποσταλέντος ἡ πίστις καὶ ἡ ὑπακοὴ δοκιμασθῇ, καὶ τὸ θαῦμα κατασταθῇ ἐπισημότερον, γνωστὸν εἰς πάντας, καὶ ἀναμφίβολον. Ἐπίστευσε λοιπὸν ὁ τυφλὸς εἰς τοῦ Ἰησοῦ τοὺς λόγους, ὑπήκουσεν εἰς τὸ πρόσταγμα Αὐτοῦ, ὑπῆγεν, ἐνίφθη, καὶ ὑπέστρεψεν οὐκ ἔτι τυφλός, ἀλλ᾽ ὑγιὴς καὶ βλέπων.

Πόσον δὲ φιλαλήθως ἀπεκρίθη ἔπειτα εἰς τοὺς ἐρωτῶντας αὐτὸν τῆς ἰατρείας αὐτοῦ τὸν τρόπον, μετὰ πόσης παρρησίας ὡμολόγησε τὸ ὄνομα τοῦ θείου Ἰατροῦ καὶ ἐκήρυξεν Αὐτὸν ἐνώπιον τῶν Φαρισαίων, καὶ πῶς τελευταῖον, μαρτυρῶν τὴν ἀλήθειαν, ἐδιώχθη μετὰ ὕβρεων ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, ταῦτα πάντα διηγεῖται λεπτομερῶς ἡ σημερινὴ τοῦ Εὐαγγελίου περικοπή.

❖